Πρωταγόρας

Ἀθην. Ε. 218 b.

Ἀλλὰ μὴν καὶ ὁ ἐν τῷ Πρωταγόρᾳ διάλογος, μετὰ τὴν Ἱππονίκου τελευτὴν γενόμενος παρειληφότος ἤδη τὴν οὐσίαν Καλλίου, τοῦ Πρωταγόρου [μέμνηται] παραγεγονότος τὸ δεύτερον οὐ πολλαῖς πρότερον ἡμέραις. ὁ δ' Ἱππόνικος ἐπὶ μὲν Εὐθυδήμου ἄρχοντος στρατηγῶν παρατέτακται μετὰ Νικίου πρὸς Ταναγραίους καὶ τοὺς παραβοηθοῦντας Βοιωτῶν καὶ τῇ μάχῃ νενίκηκε. τέθνηκε δὲ πρὸ τῆς ἐπ' Ἀλκαίου διδασκαλίας τῶν Εὐπόλιδος Κολάκων οὐ πολλῷ χρόνῳ κατὰ τὸ εἰκός. πρόσφατον γάρ τινα τὴν Καλλίου τὴν παράληψιν τῆς οὐσίας ἐμφαίνει τὸ δρᾶμα. ἐν τούτῳ τῷ δράματι Εὔπολις τὸν Πρωταγόραν ὡς ἐπιδημοῦντα εἰσάγει. (I 297 K.) Ἀμειψίας δ' ἐν τῷ Κόννῳ δύο πρότερον ἔτεσιν διδαχθέντι οὐ καταριθμεῖ αὐτὸν (I 673 K.) ἐν τῷ τῶν φροντιστῶν χορῷ. δῆλον οὖν ὡς μεταξὺ τούτων τῶν χρόνων παραγέγονεν. ὁ δὲ Πλάτων καὶ τὸν Ἱππίαν συμπαρόντα ποιεῖ [ἐν] τῷ Πρωταγόρᾳ μετά τινων ἰδίων πολιτῶν, οὓς οὐκ εἰκὸς ἐν Ἀθήναις ἀσφαλῶς διατρίβειν πρὸ τοῦ τὰς ἐνιαυσίας ἐπὶ Ἰσάρχου [τοῦ] ἐλαφηβολιῶνος συντεθεῖσθαι σπονδάς. ὃ δὲ τὸν διάλογον ὑφίσταται γινόμενον περὶ τοὺς καιροὺς τούτους καθ' οὓς αἱ σπονδαὶ προσφάτως ἐγεγόνεσαν. λέγει· εἰσὶ γὰρ [illegible] ἄνθρωποι ἄγριοι οἵους πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ. ἐδιδάχθησαν δὲ οἱ Ἄγριοι ἐπὶ Ἀριστίωνος ἄρχοντος, ἀφ' οὗ ἐστιν ἄρχων Ἀστύφιλος, πέμπτος ὢν ἀπὸ Ἰσάρχου, καθ' ὃν αἱ σπονδαὶ γε-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

νοντο. ὕπαρχος γάρ, ἐφ' Ἀνδρίας, καθ' ὃν Ἀγκαῖος, ἐφ' Ἀφιζίων, ἐφ' Ἀγύφιλος. παρὰ τὴν ἱστορίαν ἣν ὁ Πλάτων ἐν τῷ Πταγόρᾳ. ἐς τὰς Ἀθήνας παράγει ποιεῖ εἶναι τὸ περὶ τὸν Σωσίαν ϗ τῆς ευχειρίας αὐτῆς μενούσης. „

„ Ἀθ. 611.β. ϗ αἱ μάλιστα ἐν πόλεσι τῶν πόλεων ϗ κάλλιστα ἡ Λακεδαιμονίων, ὡς Χαμαιλέων φησὶν ἐν τῷ περὶ Σιμωνίδου (fr 15. Koepke) ϗ. προσίενται οὔτε ⟨φιλοσοφίαν οὔτε⟩ ῥητορικὴν διὰ τὰς ἐν τοῖς λόγοις [illegible] φιλονικίας ϗ ἔριδας ϗ τοὺς ἀκαίρους ἐλέγχους· δι' οὓς Σωκράτης μὲν ἀπέθανεν ὁ παρὰ τοῖς [illegible] δικαστήρια [illegible] διαλεγόμενος περὶ τῆς δικαιοσύνης [illegible] εἶναι· ἀπέθανεν δὲ διὰ ταῦτα ϗ Θεόδωρος ὁ ἄθεος ϗ Διαγόρας (ἐξεκηρύχθη ϗ Πρωταγόρας) ἐφυγαδεύθη· ὅτε ϗ ἐκεῖνος ναυαγίῳ ἐχρήσατο. „